I.N. 82189



Notizen und Aufsätze zu Medea.

Die Kolcher sind ursprünglich Ägypter:

ut prima Sesostris
Intulerit rex bella Getis; ut clade suorum
Territus, hos Thebas patriumque reducat ad amnem,
Phasidis hos imponat agris, ~~et~~ Colchosque vocari
Imperet. Val. Flac. V. 419.

Bildung des Argonauten:

Nec quisquam freta, nec patrias jam respicit urbes:
Sed magis ad praesens itur decus.
Val. Flac. V. 563.

Wie das spätere Schicksal des Aetes

Victa retro nunc castra dabit (Perses), bellumque remittet,
Territus adventu divis et virtute Pelasgi:
Mox ubi Thessalicis referent nos flumina terris,
Tunc aderit, victorque ~~[illegible]~~). domos et sceptra tenebit.
Donec et Aeson inopis post longa senectae
Exsilia (heu magnis quantum licet in pia fatis!)
Nata juvet; Graiusque nepos in regna reponat.
Val. Flac. V. 682.

Wiener Stadtbibliothek

Der Zustand der Medea

Illa domum atque ipsos paulum procedere postes
Optat, et ardentes tenent intra limina gressus.
Qualis, ubi extremas Io vaga sentit arenas,
Fertque refertque pedem; tumido jam cogit Erinnys
Ire mari, Phariaeque vocant trans aequora matres.
Circuit haud aliter, foribusque impendet apertis,
An melior Minyas revocet pater: oraque quaerens

Hospitis, aut solo moeret defecta cubili,
Aut venit in carae gremium refugitque sororis,
Atque loqui conata silet. rursusque recedens
Quaerit, ut ~~Aeaeis~~ Aeaeis hospes consederit oris
Phrixus, ut aligeri Circen rapuere dracones.
Tum comitum visu fruitur miseranda suorum,
Implerique nequit; subitoque parentibus haeret
Blandior et patriae circumfert oscula dextrae.

Val. Flacc. VII 109.

## Hyginus.

fab XXII.

Aeetae Solis filio erat responsum, tam diu eum regnum habiturum, quamdiu ea pellis, quam Phrixus consecraverat, in fano Martis esset.

Alcinous, König der Phäaken, wird von Jason und den ihn unter Absyrtus verfolgenden Kolchern als Schiedsrichter über die Zwistigkeit der Medea gewählt. Dieser urtheilt:

fab XXIII.. Si virgo fuerit Medea, parenti redderetur, sin autem mulier, conjugi. Jason erfährt dies durch die Gemahlin des Königs et Medeam noctu in antro devirginavit.

## Apollodori Bibliotheca. I. 9. 16

Αἴσονος δὲ τοῦ Κρηθέως καὶ Πολυμήδης τῆς Αὐτολύκου
Ἰάσων. οὗτος ᾤκει ἐν Ἰωλκῷ, τῆς δὲ Ἰωλκοῦ Πελίας ἐβα-
σίλευσε μετὰ Κρηθέα. ᾧ χρωμένῳ περὶ τῆς βασιλείας
ἐθέσπισεν ὁ θεὸς, τὸν μονοσάνδαλον φυλάξασθαι. τὸ
μὲν οὖν πρῶτον ἠγνόει τὸν χρησμὸν, αὖθις δὲ ὕστερον

ἐπετάσσετο σπείρειν δράκοντος ὀδόντας. εἶχε γὰρ λαβὼν
παρ' Ἀθηνᾶς τοὺς ἡμίσεις, ὧν Κάδμος ἔσπειρεν ἐν Θήβαις.
ἀποροῦντος δὲ τοῦ Ἰάσονος πῶς ἂν δύναιτο τοὺς ταύρους
καταζεῦξαι, Μήδεια αὐτοῦ ἔρωτα ἴσχει. ἦν δὲ αὕτη
θυγάτηρ Αἰήτου καὶ Ἰδυίας τῆς Ὠκεανοῦ, φαρμακίς.
δεδοικυῖα δέ, μὴ πρὸς τῶν ταύρων διαφθαρῇ, κρύφα
τοῦ πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν
ταύρων ἐπηγγείλατο, καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὀμόσῃ
αὐτὴν ἕξειν γυναῖκα, καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγά-
γηται. ὀμόσαντος δὲ Ἰάσονος, φάρμακον δίδωσιν, ᾧ
καταζευγνύναι μέλλοντα τοὺς ταύρους ἐκέλευσε χρῖσαι
τήν τε ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γὰρ
χρισθέντα, ἔφη, πρὸς μίαν ἡμέραν μήτε ἂν ὑπὸ πυρὸς
ἀδικηθήσεσθαι, μήτε ὑπὸ σιδήρου. ἐδήλωσε δὲ αὐτῷ,
σπειρομένων τῶν ὀδόντων, ἐκ γῆς ἄνδρας μέλλειν
ἀναδύεσθαι ἐπ' αὐτὸν καθωπλισμένους, οὓς, ἔλεγεν,
ἐπειδὰν ἀθρόως θεάσηται, βάλλῃ εἰς μέσον λίθους
ἄποθεν· ὅταν δὲ ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους,
τότε κτείνειν αὐτούς. Ἰάσων δὲ τοῦτο ἀκούσας, καὶ
χρισάμενος τῷ φαρμάκῳ, παραγενόμενος εἰς τὸ τοῦ
νεὼ ἄλσος, ἐμάστευε τοὺς ταύρους, καὶ σὺν πολλῷ
πυρὶ ὁρμήσαντας αὐτοὺς κατέζευξε. σπείραντος δὲ
αὐτοῦ τοὺς ὀδόντας, ἀνέτελλον ἐκ τῆς γῆς ἄνδρες
ἔνοπλοι· ὁ δέ, ὅπου πλείονας ἑώρα, βάλλων ἀφα-
νεῖς λίθους, πρὸς αὐτοὺς μαχομένους πρὸς ἀλλήλους
προσιὼν ἀνῄρει. καὶ καταζευγνυμένων τῶν ταύρων,
οὐκ ἐδίδου τὸ δέρας Αἰήτης· ἐβούλετο δὲ τήν τε Ἀργὼ
καταφλέξαι, καὶ κτεῖναι τοὺς ἐμπλέοντας. φθάσασα δὲ
Μήδεια, τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἤγαγε· καὶ τὸν

φυλάσσοντα δράκοντα κατακοιμήσασα τοῖς φαρμάκοις, μετὰ Ἰάσονος, ἔχουσα τὸ δέρας, ἐπὶ τὴν Ἀργὼ παρεγένετο. συνείπετο δὲ αὐτῇ καὶ ὁ ἀδελφὸς Ἄψυρτος. οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν.

Αἰήτης δὲ ἐπιγνοὺς τὰ τῇ Μηδείᾳ τετολμημένα, ὥρμησε τὴν ναῦν διώκειν. ἰδοῦσα δὲ αὐτὸν πλησίον ὄντα Μήδεια, τὸν ἀδελφὸν φονεύει, καὶ μελίσασα κατὰ βυθοῦ ῥίπτει. συναθροίζων δὲ Αἰήτης τὰ τοῦ παιδὸς μέλη, τῆς διώξεως ὑστερεῖ. διόπερ ὑποστρέψας, καὶ τὰ σωθέντα τοῦ παιδὸς μέλη θάψας, τὸν τόπον προσηγόρευσε Τόμους. πολλοὺς δὲ τῶν Κόλχων ἐπὶ τὴν ζήτησιν τῆς Ἀργοῦς ἐξέπεμψεν, ἀπειλήσας, εἰ μὴ Μήδειαν ἄξουσιν, αὐτοὺς πείσεσθαι τὰ ἐκείνης. οἱ δὲ διασχεθέντες ἄλλος ἀλλαχοῦ ζήτησιν ἐποιοῦντο.

Τοῖς Ἀργοναύταις τὸν Ἠριδανὸν ποταμὸν ἤδη παραπλέουσι μηνίσας ~~ὁ~~ ὁ Ζεὺς ὑπὲρ τοῦ φονευθέντος Ἀψύρτου χειμῶνα λάβρον ἐπιπέμψας ἐμβάλλει πλάνην. καὶ αὐτῶν τὰς Ἀψυρτίδας νήσους παραπλεόντων ἡ ναῦς φθέγγεται, μὴ λήξειν τὴν ὀργὴν τοῦ Διός, εἰ μὴ πορευθέντες εἰς τὴν Αὐσονίαν, τὸν Ἀψύρτου φόνον καθαρθῶσιν ὑπὸ Κίρκης. οἱ δὲ παραπλεύσαντες τὰ ~~Λιγυ~~ Λιγύων καὶ Κελτῶν ἔθνη, καὶ διὰ τοῦ Σαρδονίου πελάγους κομισθέντες, παραμειψάμενος Τυρρηνίαν, ἦλθον εἰς Αἰαίαν. ἔνθα Κίρκῃ ἱκέται γενόμενοι καθαίρονται.

Παραπλεόντων δὲ Σειρῆνας αὐτῶν, Ὀρφεὺς ~~τ~~ τὴν ἐναντίον μοῦσαν μελῳδῶν, τοὺς Ἀργοναύτας κατέσχε. μόνος δὲ Βούτης ἐξενήξατο πρὸς αὐτάς. ὃν ἁρπάσασα

Wiener Stadtbibliothek

82189



ἀυτον ἔγνω. τελων γαρ ἐπι τῇ θαλασσῃ Ποσειδωνι θυ-
σιαν, ἀλλους τε πολλους επι ταυτῃ, και τον Ἰασονα
μετεπεμψατο. ὁ δε ποθῳ γεωργιας ἐν τοις χωριοις
διατελων, ἐσπευσεν ἐπι την θυσιαν. διαβαντων δε
ποταμον Αναυρον, ἐξῆλθε μονοσανδαλος, το ἑτερον
ἀπολεσας ἐν τῳ ῥειθρῳ πεδιλον. θεασαμενος δε Πελιας
ἀυτον, και τον χρησμον συμβαλων, ἠρωτα προσελθων,
τι ἀν ἐποιησεν ἐξουσιαν ἐχων, ἐι λογιον ἦν ἀυτῳ, προς
τινος φονευθησεσθαι των πολιτων. ὁ δε, ἐιτε ἐπελθον
ἀλλως, ἐιτε δια μηνιν Ἡρας, ἱν᾽ ἐλθοι κακον Μηδεια
Πελιᾳ, την γαρ Ἡραν ὀυκ ἐτιμα, το χρυσομαλλον
δερας, ἐφη, προσεταττον ἀν φερειν ἀυτῳ. τουτο
Πελιας ἀκουσας, ἐυθυς ἐπι το δερας ἐλθειν ἐκελευσεν
ἀυτον. τουτο ἐν Κολχοις ἦν ἐν Ἄρεος ἀλσει κρεμαμενον
ἐκ δρυος, ἐφρουρεῖτο δε ὑπο δρακοντος ἀυπνου.

Επι τουτο πεμπομενος Ἰασων, Ἄργον παρεκαλεσε
τον Φριξου. κἀκεινος Ἀθηνας ὑποθεμενης πεντεκοντορον
ναυν κατεσκευασε την προσαγορευθεισαν ἀπο του
κατασκευασαντος Ἀργω. κατα δε την πρωραν ἐνηρμοσεν
Ἀθηνᾶ φωνῆεν φηγου της Δωδωνιδος ξυλον. ὡς δε ἡ
ναυς κατεσκευασθη, και χρωμενῳ ~~αυτῳ~~ ὁ θεος ἀυτῳ
πλειν ἐπετρεψε συναθροισαντι τους ἀριστους της Ἑλλαδος,
Οἱ δε συναθροισθεντες ἐισιν οἱδε· Τιφυς κ.τ.λ. ......

Ουτοι ναυαρχουντος Ἰασονος ἀναχθεντες προσισχουσι
Λημνῳ. ἐτυχε δε ἡ Λημνος ἀνδρων τοτε ὀυσα ἐρημος, βασι-
λευομενη δε ὑπο Ὑψιπυλης της Θοαντος δι᾽ ἀιτιαν τηνδε κ.τ.λ.
...... προσισχοντες ὀυν τοτε γυναικοκρατουμενῃ τῇ
Λημνῳ, μισγονται ταις γυναιξιν. Ὑψιπυλη δε Ἰασονι συνευ-
ναζεται

WIENER STADTBIBLIOTHEK

και γεννᾷ παῖδας, Εὔνηον και Νεβροφόνον.

Απο Λημνου δε προσισχουσι Δολιοσι, ὧν ἐβασιλευσε Κυζικος. ουτος αυτους ὑπεδεξατο φιλοφρονως. νυκτος ἀναχθεντες ἐντευθεν, και περιπεσοντες αντιπνοιαις, ἀγνοουντες παλιν τοις Δολιοσι προσισχουσιν, οἱ δε νομιζοντες Πελασγικον εἶναι στρατον, ἐτυχον γαρ ὑπο Πελασγων συνεχως πολεμουμενοι, μαχην τῆς νυκτος συναπτουσιν ἀγνοουντες προς ἀγνοουντας. κτειναντες δε πολλους οἱ Ἀργοναῦται, μεθ᾽ ὧν και Κυζικον, μεθ᾽ ἡμεραν, ὡς ἐγνωσαν, ἀποδυρομενοι τας τε κομας ἐκειραντο, και τον Κυζικον πολυτελῶς ἐθαψαν. και μετα την ταφην πλευσαντες, Μυσιᾳ προσισχουσιν.

Ἐνταῦθα Ἡρακλεα και Πολυφημον κατελιπον. Ὕλας γαρ, ὁ Θειοδαμαντος παῖς, Ἡρακλεους δε ἐρωμενος, ἀποσταλεις ὑδρευσασθαι, δια καλλος ὑπο Νυμφων ἡρπαγη. Πολυφημος δε ἀκουσας αὐτοῦ βοησαντος, σπασαμενος το ξιφος, ἐδιωξεν, ὑπο λῃστῶν ἀγεσθαι νομιζων, και δηλοῖ συντυχοντι Ἡρακλει. ζητουντων δε ἀμφοτερων τον Ὕλαν, ἡ ναῦς ἀνηχθη. και Πολυφημος μεν ἐν Μυσιᾳ κτισας πολιν, Κιου ἐβασιλευσεν, Ἡρακλῆς δε ὑπεστρεψεν εἰς Ἀργος. Ἡ . . . . .

Απο δε Μυσιας ἀπηλθον εἰς την Βεβρυκων γην, ἧς ἐβασιλευσεν Ἀμυκος Ποσειδῶνος παῖς και Βιθυνιδος. γενναιος δε ὤν ουτος, τους προσσχοντας ξενους ἠναγκαζε πυκτευειν, και τουτον τον τροπον ἀνῄρει. παραγενομενος οὖν και τοτε ἐπι την Ἀργω, τον αριστον αυτων εἰς πυγμην προυκαλειτο. Πολυδευκης δε ὑποσχομενος

πυκτευσειν προς ἀυτον, πληξας κατα τον ἀυχενα ἀπεκτεινε. των δε Βεβρυκων ὁρμησαντων προς ἀυτον ἁρπασαντες οἱ ἀριστεις τα ὅπλα, πολλους φευγοντας φονευουσιν ἀυτων.

Ἐντευθεν ἀναχθεντες, ~~κα~~ καταντωσιν εἰς την Θρακης Σαλμυδησσον, ἐνθα ᾠκει Φινευς μαντις, τας ~~οφ~~ ὀψεις πεπηρωμενος. τουτον οἱ μεν Ἀγηνορος εἰναι λεγουσιν, οἱ δε Ποσειδωνος υἱον. και πηρωθηναι φασιν ἀυτον, οἱ μεν ὑπο θεων, ὁτι προυλεγε τοις ἀνθρωποις τα μελλοντα, οἱ δε ὑπο Βορεου και των Ἀργοναυτων, ὁτι πεισθεις μητρυια, τους ἰδιους ἐτυφλωσε παιδας. τινες δε ὑπο Ποσειδωνος, ὁτι τοις Φριξου παισι τον ἐκ Κολχων εἰς την Ἑλλαδα πλουν ἐμηνυσεν. ἐπεμψαν δε αυτω και τας Ἁρπυιας οἱ θεοι. πτερωται δε ἠσαν αυται, και, ἐπειδαν τω Φινει ~~παρα~~ παρετιθετο τραπεζα, ἐξ οὐρανου καθιπταμεναι, τα μεν πλειονα ἀνηρπαζον, ὀλιγα δε ὁσα ὀσμης αναπλεα κατελειπον, ὡστε μη δυνασθαι προσενεγκασθαι. Βουλομενοις δε τοις Ἀργοναυταις τα περι του πλου μαθειν, ὑποθησεσθαι τον πλουν ἐφη, των Ἁρπυιων ἀυτον εαν απαλλαξωσιν. οἱ δε παρεθεσαν αυτω τραπεζαν εδεσματων, Ἁρπυιαι δε ἐξαιφνης συν βοη καταπτασαι την τροφην ἡρπαζον. θεασαμενοι δε οἱ Βορεου παιδες, Ζητης και Καλαϊς, ὀντες πτερωτοι σπασαμενοι τα ξιφη, δι' ἀερος ἐδιωκον. ἠν δε ταις Ἁρπυιαις χρεων τεθναναι ὑπο των Βορεου παιδων. τοις δε Βορεου παισι, τοτε τελευτησειν . . . . .

Ἀπαλλαγεις δε των Ἁρπυιων Φινευς, ἐμηνυσε τον πλουν τοις Ἀργοναυταις, και περι των Συμπληγαδων ὑπεθετο πετρων των κατα θαλασσαν. ἠσαν δε ὑπερμεγεθεις αυται συγκρουομεναι δε αλληλαις, ὑπο της των πνευματων βιας, τον δια

θαλάσσης πόρον ἀπέκλειον, ἐφέρετο δὲ πολλὴ μὲν ὑπ' αὐτῶν ὀμίχλη, πολὺς δὲ πάταγος. ἦν δὲ ἀδύνατον καὶ τοῖς πετεινοῖς δι' αὐτῶν ἐλθεῖν. εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα διὰ τῶν πετρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν, διαπλεῖν καταφρονοῦντας· ἐὰν δὲ ἀπολομένην, μὴ πλεῖν βιάζεσθαι. ταῦτα, ἀνήγοντο ἀκούσαντες, καὶ, ὡς πλησίον ἦσαν τῶν πετρῶν, ἀφιᾶσιν ἐκ τῆς πρώρας πελειάδα· τῆς δὲ ἱπταμένης, τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπτωσις τῶν πετρῶν ἀπεθέρισεν. ἀναχωρούσας οὖν ἐπιτηρήσαντες τὰς πέτρας, μετ' εἰρεσίας ἐντόνου συλλαβομένης Ἥρας, διῆλθαν, τὰ ἄκρα τῶν ἀφλάστων τῆς νηὸς περικοπείσης. αἱ μὲν οὖν Συμπληγάδες ἔκτοτε ἔστησαν· χρεὼν γὰρ ἦν αὐταῖς, νηὸς περαιωθείσης, στῆναι παντελῶς.

Οἱ δὲ Ἀργοναῦται πρὸς Μαριανδυνοὺς παραγίνονται κἀκεῖ φιλοφρόνως ὁ βασιλεὺς ὑπεδέξατο Λύκος, ἔνθα θνήσκει μὲν Ἴδμων ὁ μάντις, πλήξαντος αὐτὸν κάπρου, θνήσκει δὲ καὶ Τῖφυς, καὶ τὴν ναῦν Ἀγκαῖος ὑπισχνεῖται κυβερνᾶν.

Παραπλεύσαντες δὲ Θερμώδοντα καὶ Καύκασον, ἐπὶ Φᾶσιν ποταμὸν ἦλθαν. οὗτος τῆς Κολχικῆς ἐστι γῆς. καθορμισθείσης δὲ τῆς νηὸς, ἧκε καὶ πρὸς Αἰήτην Ἰάσων, καὶ τὰ ἐπιταγέντα ὑπὸ Πελίου λέγων, παρεκάλει δοῦναι τὸ δέρας αὐτῷ· ὁ δώσειν ὑπέσχετο ἐὰν τοὺς χαλκόποδας ταύρους μόνος καταζεύξῃ. ἦσαν δὲ ἄγριοι παρ' αὐτῷ οὗτοι ταῦροι δύο μεγέθει διαφέροντες, δῶρον Ἡφαίστου, οἳ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στομάτων ἐφύσων. τούτους αὐτῷ ζεύξαντι

J. N. 82189



Ἀφροδιτη ἐν Λιλυβαιω κατῳκισε.

Μετα δε τας Σειρηνας την ναῦν Χαρυβδις ἐξεδεχετο και Σκυλλα και Πετραι Πλαγκται, ὑπερ ὧν φλοξ πολλη και καπνος αναφερομενος ἑωρατο. αλλα δια τουτων διεκομισε την ναῦν σὺν Νηρηΐσι Θετις παρακληθεῖσα ὑπο ~~Ηρας~~ Ἡρας.

Παραμειψαμενοι δε Θρινακιαν νησον Ἡλιου βοῦς ἐχουσαν, ἐις την Φαιακων νησον Κερκυραν ἡσαν, ἧς βασιλευς ἦν Ἀλκινοος.

Τῶν δε Κολχων την ναῦν ευρειν μη δυναμενων, οἱ μεν τοῖς Κεραυνιοις ὀρεσι παρῳκησαν, οἱ δε εἰς την Ἰλλυριδα κομισθεντες ἐκτισαν Ἀψυρτιδας νησους. ἐνιοι δε, προς Φαιακας ἐλθοντες, την Ἀργω κατελαβον, και την Μηδειαν απῃτουν παρα Ἀλκινοου. ὁ δε ειπεν, ει μεν ἠδη συνεληλυθεν Ἰασονι, δωσειν αὐτην ἐκεινῳ· ει δε ἐτι παρθενος ἐστι, τῳ πατρι αντιπεμψειν. Ἀρητη δε ἡ Αλκινοου γυνη φθασασα Μηδειαν Ἰασονι συνεζευξεν. ὁθεν οἱ μεν Κολχοι μετα Φαιακων κατῳκησαν, οἱ δε Ἀργοναῦται μετα της Μηδειας ἀνηχθησαν. πλεοντες δε νυκτος σφοδρῷ περιπιπτουσι χειμωνι. Ἀπολλων δε στας ἐπι τας Μελαντιους δειρας, τοξευσας τῳ βελει εις την θαλασσαν, κατηστραψεν. οἱ δε πλησιον εθεασαντο νησον, τῳ δε παρα προσδοκιαν αναφανηναι, προσορμισθεντες, Ἀναφην ἐκαλεσαν. Ἱδρυσαμενοι δε βωμον Ἀπολλωνος Αἰγλητου, και θυσιασαντες ἐπ' ευωχιαν ετραπησαν. δοθεισαι δε ὑπο Ἀρητης Μηδειᾳ δωδεκα θεραπαιναι, τους ἀριστεας ἐσκωπτον μετα παιγνιας. ὁθεν ἐτι και νυν ἐν τῃ θυσιᾳ συνηθες ἐστι σκωπτειν ταις γυναιξιν.

Εντευθεν ἀναχθεντες, κωλυονται Κρητῃ προσισχειν ὑπο Ταλω. τουτον, οἱ μεν του χαλκου γενους ειναι λεγουσιν, οἱ δε ὑπο Ἡφαιστου Μινῳ δοθηναι. ὁς ἦν χαλκους ανηρ,

οἱ δε Ταυρον αὐτον λεγουσιν. εἶχε δε φλεβα μιαν ἀπο αὐχενος
κατατεινουσαν ἀχρι σφυρῶν. κατα δε το τερμα τῆς φλεβος
ἧλος διηρειστο χαλκοῦς. οὗτος ὁ Ταλως τρὶς ἑκαστης ἡμερας
την νησον περιτροχαζων ἐτηρει· διο και τοτε την Ἀργω προσ-
πλεουσαν θεωρῶν τοις λιθοις ἐβαλλεν. εξαπατηθεις δε ὑπο
Μηδειας ἀπεθανεν· ὡς μεν ἐνιοι λεγουσι, δια φαρμακων αὐτῳ
μανιαν Μηδειας ἐμβαλουσης· ὡς δε τινες, ὑποσχομενης ποιη-
σειν ἀθανατον αὐτον, και τον ἧλον ἐξελουσης, εκρυεντος τοῦ
παντος ἰχῶρος, ἀποθανεῖν. τινες δε, αὐτον τοξευθεντα ὑπο
Ποιαντος εἰς το σφυρον τελευτησαι λεγουσι.

Μιαν δε ενταῦθα νυκτα μειναντες, Αιγινῃ προσισχουσιν
ὑδρευσασθαι θελοντες, και γινεται περι τῆς ὑδρειας αὐτοῖς
ἁμιλλα. Ἐκειθεν δε δια τῆς Ευβοιας και τῆς Λοκριδος πλευ-
σαντες, εἰς Ἰωλκον ἦλθον, τον παντα πλοῦν ἐν τεσσαρσι
μησι τελειωσαντες.

Πελιας δε, ἀπογνοὺς την ὑποστροφην τῶν Αργοναυτῶν, τον
Αἰσονα κτεινειν ἠθελεν. ὁ δε αἰτησαμενος ἑαυτον ανελεῖν,
θυσιαν ἐπιτελῶν ἀδεῶς τοῦ ταυρου αἷμα σπασαμενος απ-
εθανεν. ἡ δε Ἰασονος μητηρ, ἐπαρασαμενη Πελια, νηπιον απο-
λιπουσα παιδα Προμαχον, ἑαυτην ἀνηρτησε· Πελιας δε και τον
καταλειφθεντα παιδα απεκτεινεν αὐτῆς. Ὁ δε Ἰασων κατ-
ελθων, το μεν δερας ἐδωκε· περι ὧν δε ἠδικηθη μετελθειν
ἐθελων, καιρον ἐξεδεχετο, και τοτε μεν εἰς Ἰσθμον μετα
των ἀριστων πλευσας, ἀνεθηκε την ναῦν Ποσειδωνι. αὖθις
δε Μηδειαν παρακαλεῖ ζητεῖν, ὁπως Πελιας αὐτῳ δικας ὑποσχῃ.
ἡ δε εἰς τα βασιλεια τοῦ Πελιου παρελθοῦσα, πειθει τας θυγα-
τερας αὐτοῦ τον πατερα κρεουργῆσαι και καθεψῆσαι, δια φαρμα-
κων

gu Iv 82189



ζῶτον επαγγελλομενη ποιησειν νεον. και τοῦ πιστευσαι χαριν,
κριον μελισασα και καθεψησασα ἐποιησεν αρνα· αἱ δε πιστευ-
σασαι τον πατερα κρεουργουσι, και καθεψουσιν. Ἄκαστος δε
μετα τῶν την Ἰωλκον οἰκουντων τον πατερα θαπτει, τον δε
Ἰασονα μετα της Μηδειας της Ἰωλκου ἐκβαλλει.

Οἱ δε ἧκον εἰς Κορινθον, και δεκα μεν ἐτη διετελουν εὐτυχοῦν-
τες· αὖθις δε, του της Κορινθου βασιλεως Κρεοντος την θυγατερα
Γλαυκην Ἰασονι ἐγγυῶντος, παραπεμψαμενος Ἰασων Μηδειαν,
εγαμει. ἡ δε, οὓς ~~δε~~ τε ὤμοσεν Ἰασων θεους ἐπικαλεσαμενη,
και την Ἰασονος ἀχαριστιαν μεμψαμενη πολλακις, τῇ μεν γα-
μουμενῃ πεπλον μεμαγευμενον φαρμακῳ ἐπεμψεν, ὁ ἀμφιεσα-
μενη, μετα τοῦ βοηθοῦντος πατρος, πυρι λαβρῳ καταφλεγει,
τους τε παιδας, οὓς εἰχεν ἐξ Ἰασονος, Μερμερον και Φερητα, απ-
εκτεινε, και λαβοῦσα παρα Ἡλιου ἁρμα πτηνῶν δρακοντων,
επι τουτου φευγουσα ἠλθεν εἰς Ἀθηνας. λεγεται δε, ὁτι ~~φευγοντα~~
φευγουσα τοὺς παιδας νηπιους ἐτι ὀντας κατελιπεν, ἱκετας
καθισασα ἐπι τον βωμον της Ἡρας της Ἀκραιας· Κορινθιοι δε
αὐτους αναστησαντες κατετραυματισαν.

Μηδεια δε ἧκεν εἰς Ἀθηνας, κἀκεῖ γαμηθεισα Αἰγεῖ, παιδα γεννᾷ
Μῆδον. επιβουλευσουσα δε ὑστερον Θησεῖ, φυγας δε Ἀθηνῶν μετα
του παιδος ἐκβαλλεται. αλλα οὗτος μεν πολλῶν κρατησας βαρ-
βαρων, την ὑφ' ἑαυτον χωραν ἁπασαν ~~Μηδειαν~~ Μηδιαν εκαλεσε,
και στρατευσαμενος επι Ἰνδους ἀπεθανε.

Μηδεια δε εἰς Κολχους ἠλθεν ἀγνωστος, και καταλαβουσα
Αἰητην ὑπο του ἀδελφου Περσου της βασιλειας ἐστερημενον,
κτεινασα τουτον, τῳ πατρι την βασιλειαν αποκατεστησεν.

Diodori Siculi Bibl. Hist. IV. 40.

Περι δε των Ἀργοναυτων, ἐπειδη τουτοις Ἡρακλης συνεστρατευσεν, οἰκειον ἂν εἴη διελθειν περι αὐτων. Ἰασονα γενεσθαι λεγουσιν υἱον μεν Αἰσονος, ἀδελφιδουν δε Πελιου του Θετταλων βασιλεως. ῥωμη δε σωματος και ψυχης λαμπροτητι διενεγκαντα των ἡλικιωτων, ἐπιθυμησαι τι πραξαι μνημης ἀξιον. ὁρωντα δε τον προ αὐτου Περσεα, και τινας ἀλλους, δια τους ὑπερορίους στρατειας και το παραβολον των ἀθλων, δοξης ἀειμνηστου τετευχοτας, ζηλωσαι τας προαιρεσεις αὐτων. διο και της ἐπιβολης, ἀνακοινωσαμενον τῳ βασιλει, ταχεως λαβειν αὐτον συγκαταινον. οὐχ οὑτως του Πελιου σπευδοντος προαγαγειν εἰς ἐπιφανειαν τον νεανισκον, ὡς ἐλπιζοντος εν ταις παραβολοις στρατειαις διαφθαρησεσθαι. αὐτον γαρ ἐκ φυσεως εστερησθαι παιδων ἀρρενων. τον δε ἀδελφον εὐλαβεισθαι μη ποτε συνεργον ἐχων τον υἱον ἐπιθηται τῃ βασιλειᾳ. κρυπτοντα δε την ὑποψιαν ταυτην, και τα προς την στρατειαν χρησιμα χορηγησειν ἐπαγγειλαμενον, παρακαλειν ἀθλον τελεσαι, ὑφειλαμενον τον πλουν εἰς Κολχους ἐπι το διαβεβοημενον του κριου δερας χρυσομαλλον. τον δε ποντον κατ' ἐκεινους τους χρονους περιοικουμενον ὑπο ἐθνων βαρβαρων και παντελως ἀγριων, ἀξενον προσαγορευεσθαι ξενοκτονουντων των ἐγχωριων τους καταπλεοντας. Ἰασονα δε δοξης ορεγομενον και το ἀθλον δυσεφικτον μεν, οὐ κατα παν δε ἀδυνατον κρινοντα, και δια τουτο μαλλον αὐτον ἐπιφανεστερον ἐσεσθαι διαλαμβανοντα, παρασκευασασθαι τα προς την ἐπιβολην. και πρωτον μεν περι το Πηλιον ναυπηγησασθαι το σκαφος, πολυ τῳ μεγεθει και τῃ λοιπῃ κατασκευῃ την τοτε συνηθειαν ὑπερβαλλον, δια το σχεδιαις πλειν τους τοτε ~~ἀνθρωπα~~ ἀνθρωποις, και μικροις παντελως ἀκατιοις. διο και των ἰδοντων αὐτο τοτε καταπληττομενων, και της φημης διαδοθεισης κατα την ἑλλαδα, περι τε το ἀθλον και της κατα την ναυπηγιαν

ἐπιβολῆς, οὐκ ὀλίγους τῶν ἐν ὑπεροχαῖς νεανίσκων ἐπιθυ-
μῆσαι μετασχεῖν τῆς στρατείας. Ἰάσονα δὲ καθελκύσαντα τὸ
σκάφος, καὶ κοσμήσαντα πᾶσι τοῖς ἀνήκουσι πρὸς ἔκπληξιν
λαμπρῶς, ἐκλέξαι τῶν ὀρεγομένων τῆς αὐτῆς προαιρέσεως
τοὺς ἐπιφανεστάτους ἀριστεῖς, ὥστε σὺν αὐτῷ τοὺς ἅπαντας
εἶναι LIV. τούτων δὲ ὑπάρχειν ἐνδοξοτάτους Κάστορα καὶ Πολυδεύ-
κην, ἔτι καὶ Ἡρακλέα καὶ Τελαμῶνα. πρὸς δὲ τούτοις, Ὀρφέα καὶ
τὴν Σχοινέως Ἀταλάντην. ἔτι δὲ τοῦ Θεσπίου παῖδες, καὶ αὐτὸν
τὸν στελλόμενον τὸν πλοῦν ἐπὶ τὴν Κολχίδα. τὴν δὲ ναῦν Ἀργὼ
προσαγορευθῆναι, κατὰ μέν τινας τῶν μυθογράφων, ἀπὸ τοῦ τὸ
σκάφος ἀρχιτεκτονήσαντος Ἄργου, καὶ συμπλεύσαντος ἕνεκα τοῦ
θεραπεύειν ἀεὶ τὰ πονοῦντα μέρη τῆς νεώς. ὡς δὲ ἔνιοι λέγου-
σιν, ἀπὸ τῆς περὶ τὸ τάχος ὑπερβολῆς, ὡς ἂν τῶν ἀρχαίων
ἀργὸν τὸ ταχὺ προσαγορευόντων. τοὺς δ᾽ οὖν ἀριστεῖς συνελ-
θόντας ἑλέσθαι σφῶν αὐτῶν στρατηγὸν Ἡρακλέα, προκρίναντας
κατ᾽ ἀνδρείαν

Abfahrt von Jolkos. [illegible] [illegible] die Griechen. Die Fahrt der
[illegible] [illegible] den goldenen Vliesse

Ἀχθέντας δὲ αὐτοὺς (τοὺς Ἀργοναύτας) ἐκ τῆς Θρᾴκης καὶ
κομισθέντας εἰς τὸν πόντον, προσσχεῖν τῇ Ταυρικῇ, τὴν ἀγριό-
τητα τῶν ἐγχωρίων ἀγνοοῦντας. νόμιμον γὰρ εἶναι τοῖς τὴν
χώραν ταύτην οἰκοῦσι βαρβάροις, θύειν Ἀρτέμιδι Ταυροπόλῳ
τοὺς καταπλέοντας ξένους, παρ᾽ οἷς φασι τὴν Ἰφιγένειαν ἐν
τοῖς ὕστερον χρόνοις ἱέρειαν τῆς εἰρημένης θεοῦ κατασταθεῖ-
σαν, θύειν τοὺς ἁλισκομένους. ἐπιζητούσης δὲ τῆς ἱστορίας τὰς
τῆς ξενοκτονίας αἰτίας, ἀναγκαῖον βραχέα διελθεῖν, ἄλλως
τε καὶ τῆς παρεκβάσεως οἰκείας ἐσομένης ταῖς τῶν Ἀργοναυτῶν
πράξεσι. φασὶ γὰρ Ἡλίου δύο γενέσθαι παῖδας, Αἰήτην τε καὶ Πέρσην·
τούτων δὲ τὸν μὲν Αἰήτην βασιλεῦσαι τῆς Κολχίδος, τὸν δὲ ἕτερον

της ταυρικῆς, αμφοτερους δε διενεγκειν ὠμοτητι. και Περσου
μεν Ἑκατην γενεσθαι θυγατερα, ~~τολη~~ τολμη και παρανομια
προεχουσαν τοῦ πατρος, φιλοκυνηγον τε ουσαν ἐν ταις ἀπο-
τυχιαις ανθρωπους ἀντι τῶν θηριων κατατοξευειν. φιλοτεχνον
δε εις φαρμακων θανασιμων συνθεσεις γενομενην, το καλουμε-
νον ἀκονιτον ἐξευρεῖν, και τῆς ἑκαστου δυναμεως πειραν λαμ-
βανειν, μισγουσαν ταις διδομεναις τοῖς ξενοις τροφαῖς. ἐμ-
πειριαν δε μεγαλην ἐν τουτοις ἔχουσαν, πρωτον μεν τον πατερα
φαρμακῳ διαφθειραι, και διαδεξασθαι τῆν βασιλειαν· ἐπειτ' Ἀρ-
τεμιδος ἱερον ἱδρυσαμενην, και τας καταπλεοντας ξενους θυεσθαι
τῆ θεῷ καταδειξασαν, ἐπ' ὠμοτητι διονομασθηναι. μετα δε ταῦ-
τα συνοικησασαν Αἰητῃ, γεννῆσαι δυο θυγατερας, Κιρκην τε και
Μηδειαν, ἐτι και υἱον Αἰγιαλεα. και την Κιρκην εἰς φαρμακων
παντοδαπῶν ἐπινοιαν ἐκτραπεῖσαν, ἐξευρειν παντοιας φυσεις
βοτανων και δυναμεις απιστουμενας. οὐκ ολιγα μεν γαρ ὑπο
της μητρος Ἑκατης διδαχθηναι, πολυ δε πλειω δια τῆς ἰδιας
ἐπιμελειας ἐξευρουσαν, μηδεμιαν ὑπερβολην ἀπολειπειν ἑτερᾳ
προς επινοιαν φαρμακειας. δοθηναι δε αυτην εις γαμον τῳ βα-
σιλει των σαρματων, οὓς ἐνιοι σκυθας προσαγορευουσι. και το
μεν πρωτον τον ἀνδρα φαρμακοις ἀνελειν, μετα δε ταυτα την
βασιλειαν διαδεξαμενην, πολλα κατα τῶν ἀρχομενων ὠμα
πραξαι και βιαια. διοπερ ἐκπεσουσαν τῆς βασιλειας, κατα
μεν τινας τῶν μυθογραφων, φυγειν ἐπι τον ὠκεανον, και
νησον ἐρημον καταλαβομενην, ἐνταῦθα μετα τῶν συμφυγου-
σων γυναικῶν καθιδρυθηναι. κατα τε τινας τῶν ἱστορικῶν, ἐκ-
λιπουσαν τον ποντον κατοικησαι της Ἰταλιας ἀκρωτηριον το μεχρι
τοῦ νῦν ἀπ' ἐκεινης κιρκαιον ὀνομαζομενον, τῆν δε Μηδειαν
ἱστορουσι μαθειν παρα τε της μητρος και της ἀδελφῆς ἁπασας
τας τῶν φαρμακων δυναμεις. προαιρεσει δε ἐναντιωτατῃ χρησθαι.
διασωζειν γαρ τους καταπλεοντας τῶν ξενων ἐξαιρουμενην

ἐκ τῶν κινδύνων· καὶ τοτὲ μὲν παρὰ τοῦ πατρὸς αἰτεῖσθαι
δεήσει καὶ χάριτι τὴν τῶν μελλόντων ἀπόλλυσθαι σωτηρίαν,
τοτὲ δὲ αὐτὴν ἐκ τῆς φυλακῆς ἀφιεῖσαν, προνοεῖσθαι τῆς τῶν
ἀτυχούντων ἀσφαλείας. τὸν μὲν γὰρ Αἰήτην, τὰ μὲν διὰ τὴν ἰδίαν
ὠμότητα, τὰ δὲ ὑπὸ τῆς γυναικὸς Ἑκάτης πεισθέντα, προσδέ-
ξασθαι τὸ τῆς ξενοκτονίας νόμιμον. ἀντιπραττούσης δὲ Μηδείας
ἀεὶ μᾶλλον τῇ προαιρέσει τῶν γονέων, φασὶ τὸν Αἰήτην, ὑποπ-
~~[illegible]~~ τεύσαντα τὴν ἐκ τῆς θυγατρὸς ἐπιβουλὴν εἰς ἐλευθέραν
αὐτὴν ἀποθέσθαι φυλακήν. τὴν δὲ Μήδειαν διαδρᾶσαν, καταφυγεῖν
εἰς τι τέμενος Ἡλίου, κείμενον παρὰ θάλατταν. καθ' ὃν δὴ χρόνον
τοὺς Ἀργοναύτας ἀπὸ τῆς Ταυρικῆς κομισθέντας, νυκτὸς καταπλεῦ-
σαι τῆς Κολχίδος εἰς τὸ προειρημένον τέμενος. ἔνθα δὴ περιτυ-
χόντας τῇ Μηδείᾳ πλανωμένῃ περὶ τὸν αἰγιαλὸν, καὶ μαθόντας
παρ' αὐτῆς τὸ τῆς ξενοκτονίας νόμιμον, ἀποδέξασθαι μὲν τὴν
ἡμερότητα τῆς παρθένου, δηλώσαντας δὲ αὐτῇ τὴν ἑαυτῶν
ἐπιβολήν, πάλιν παρ' ἐκείνης μαθεῖν τὸν ὑπάρχοντα αὐτῇ
~~κίνδυνον~~ κίνδυνον ὑπὸ τοῦ πατρὸς, διὰ τὴν πρὸς τοὺς ξένους εὐσέ-
βειαν. κοινοῦ δὲ τοῦ συμφέροντος φανέντος, τὴν μὲν Μήδειαν ἐπαγγεί-
λασθαι συνεργήσειν αὐτοῖς μέχρις ἂν συντελέσωσι τὸν προκεί-
μενον ἆθλον. τὸν δὲ Ἰάσονα διὰ τῶν ὅρκων δοῦναι πίστεις, ὅτι
γήμας αὐτὴν ἕξει σύμβιον ἅπαντα τὸν τοῦ ζῆν χρόνον. μετὰ
δὲ ταῦτα τοὺς Ἀργοναύτας, ἀπολιπόντας φύλακας τῆς νεώς,
νυκτὸς ὁρμῆσαι μετὰ τῆς Μηδείας ἐπὶ τὸ χρυσόμαλλον δέρας.
περὶ οὗ τὸ κατὰ μέρος οἰκεῖον ἂν εἴη διελθεῖν, ἵνα μηδὲν
τῶν ἀνηκόντων εἰς τὴν ὑποκειμένην ἱστορίαν ἀγνοῆται.
Φρίξον τὸν Ἀθάμαντος μυθολογοῦσι διὰ τὰς ἀπὸ τῆς μητρυιᾶς
ἐπιβουλὰς ἀναλαβόντα τὴν ἀδελφὴν Ἕλλην, φυγεῖν ἐκ τῆς
Ἑλλάδος. περαιουμένων δ' αὐτῶν κατά τινα θεῶν πρόνοιαν
ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν ἐπὶ κριοῦ χρυσομάλλου,
τὴν μὲν παρθένον ἀποπεσεῖν εἰς τὴν θάλατταν, ἣ ἀπ' ἐκείνης

ἑλλησποντον ὀνομασθῆναι. τον δε Φριξον εἰς την ποντον
πορευθεντα, κατενεχθῆναι μεν προς την κολχιδα, κατα δε τι
λογιον, θυσαντα τον κριον, ἀναθειναι το δερας εἰς το τοῦ
Ἀρεος ἱερον. μετα δε ταυτα βασιλευοντι τῆς κολχιδος Αἰητη
χρησμον ἐκπεσειν ὁτι τοτε καταστρεψει τον βιον, ὁταν
ξενοι καταπλευσαντες το χρυσομαλλον δερας ἀπενεγκωσι.
δια δη ταυτας τας αἰτιας, και δια την ἰδιαν ὠμοτητα καταδει-
ξαι θυειν τους ξενους· ἱνα διαδοθεισης τῆς φημης εἰς ἁπαντα
τοπον περι τῆς κολχων ἀγριοτητος, μηδεις τῶν ξενων ἐπι-
βῆναι τολμηση τῆς χωρας. περιβαλειν δε και τῳ τεμενι ~~τεχος~~
τειχος, και φυλακας πολλους περιστῆσαι τῶν ἐκ τῆς ταυρικης.
ἀφ᾽ ὧν και τερατωδεις παρα τοις ἑλλησι, πλασθῆναι μυθους.
διαβεβοησθαι γαρ ὁτι πυριπνοοι ταυροι περι το τεμενος
ὑπῆρχον, δρακων δ᾽ ἀυπνος ἐτηρει το δερας. ἀπο μεν τῶν
ταυρων μετενεχθεισης τῆς ὁμωνυμιας ἐπι την τῶν βοων
ἰσχυν, ἀπο δε τῆς κατα την ξενοκτονιαν ὠμοτητος πῦρ πνειν
τους ταυρους μυθολογηθεντος. παραπλησιως δε τοῦ τηροῦντος
το τεμενος, Δρακοντος ὀνομαζομενου, μετενηνοχεναι τους
ποιητας ἐπι το τερατῶδες και καταπληκτικον τοῦ ζωου. τῆς
δε ὁμοιας μυθολογιας ἐχεσθαι και τα περι τοῦ Φριξου λεγομε-
να. διαπλευσαι γαρ αὐτον φασιν, οἱ μεν ἐπι νεως προτομην
ἐπι τῆς πρωρας ἐχουσης κριου, και την Ἑλλην δυσφοροῦσαν ~~ἐπ~~
ἐπι τῇ ναυτια, και δια τουτο ἐπι τοῦ τοιχου τῆς νεως ἐκ-
κυπτουσαν, εἰς την θαλασσαν πεσειν. ἐνιοι δε φασι, τον
βασιλεα τῶν σκυθων, ὀντα γαμβρον Αἰητου, παρα τοις κολ-
χοις ἐπιδημησαι καθ᾽ ὃν καιρον ἁλωναι συνεβη τον Φριξον
μετα τοῦ παιδαγωγου. ἐρωτικῶς δε σχοντα τοῦ παιδος, λαβεῖν
αὐτον ἐν δωρεᾳ παρ᾽ Αἰητου, και καθαπερ υἱον γνησιον ἀγαπη-
σαντα, καταλιπειν αὐτῳ την ~~βασ~~ βασιλειαν. τον δε παιδαγωγον
ὀνομαζομενον Κριον, τυθῆναι τοις θεοις, και τοῦ σωματος ἐκδα-
-ρεντος,

zu J.N. 82189

XXXVI

προσηλωθῆναι τῷ θεῷ το δερμα κατα τι νομιμον. μετα δε ταυτα
Αἰητῃ γενομενου χρησμου, καθ' ὃν ἐσημαινετο τελευτησειν
ἀυτον ὅταν ξενοι καταπλευσαντες το τοῦ κριου δερας απενεγ-
κωσι· φασι τον βασιλεα χρυσῶσαι το δερας, και φρουραν ἐγκατα-
στησαι, ἵνα δια την ἐπιφανειαν ὑπο τῶν στρατιωτων ἐπιμελεστα-
της ἀξιωθῇ φυλακῆς. ταυτα μεν οὖν ἐξεστι τους ~~αναγινω~~ ανα-
γινωσκοντας κρινειν προς τας ἰδιας ἑκαστου προαιρεσεις. την δε
Μηδειαν ἱστορουσι καθηγησασθαι τοῖς ἀργοναυταις προς το τοῦ
Αρεος τεμενος, απεχον ἑβδομηκοντα σταδιους ἀπο τῆς πολεως· ην
καλεισθαι μεν Συβαριν, ἐχειν δε τα βασιλεια τῶν κολχων. προσ-
ελθουσης δε ταις πυλαις κεκλεισμεναις νυκτος, τῇ ταυρικῇ διαλεκ-
τῳ προσφωνῆσαι τοῖς φρουροισι· τῶν δε στρατιωτῶν ἀνοιξαντων
προθυμως, ὡς ἀν βασιλεως θυγατρι, φασι τοὺς ἀργοναυτας εισπε-
σοντας ἐσπασμενοις τοῖς ξιφεσι, πολλους μεν φονευσαι τῶν
βαρβαρων, τους δε αλλους, δια το παραδοξον καταπληξαμενους,
ἐκβαλειν ἐκ τοῦ τεμενους, και το δερας αναλαβοντας, προς την ναῦν
επειγεσθαι κατα σπουδην. παραπλησιως δε τουτοις και την Μηδειαν
ἐν τῳ τεμενει τον μυθολογουμενον ἄυπνον δρακοντα, περιεσπει-
ραμενον το δερμα, φαρμακοις ἀποκτειναι, και μετ' Ιασονος την
ἐπι θαλατταν καταβασιν ποιησασθαι. των δε διαφυγοντων ταυ-
ρων απαγγειλαντων τῳ βασιλει την γενομενην